νώσι, κατὰ δὲ τὸ βούλημα τοῦ Θεοῦ πολιτεύσηται, οὐκ ἀποβλητέος. εἰ δέ τις τὰ πρόσκαιρα θαυμάζει, καὶ τὴν ἐκ τούτων μεταδιώκει ἀπόλαυσιν, τῆς τῶν δικαίων παρακλήσεως ἑαυτὸν ἐστέρησεν.

A loco, si ex Dei voluntate vixerit, esse rejiciendum. Qui autem terrena suspicit, fructumque ex iis consectatur, justorum se consolatione privat.

## Λ.

ΕΑ'ν οὖν τῆς χαρᾶς ἐκείνης κατατυχεῖν ἀγωνίζῃ, μὴ πάρεχε δίοδον σκολιοῖς λογισμοῖς, ἀποστασίαν ἀπὸ Θεοῦ ποιοῦσιν. ἀψευδὴς γὰρ ὁ εἰπών· ὁ εὑρὼν τὴν ψυχὴν αὐτοῦ, ἀπολέσει αὐτήν· ὁ δὲ ἀπολέσας τὴν ψυχὴν αὐτοῦ ἕνεκεν ἐμοῦ, εὑρήσει αὐτήν· διὸ καὶ ὁ Ἀπόστολος λέγει. ἀπεθάνετε γὰρ, καὶ ἡ ζωὴ ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ. ὅταν ὁ Χριστὸς φανερωθῇ ἡ ζωὴ ὑμῶν, τότε καὶ ὑμεῖς σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.

## XXX.

B SI ergo gaudio illo perfrui desideras, cave aditum pravis cogitationibus, quæ nos a Deo separant, patefeceris. Verax namque est, qui dixit: *Qui invenit animam suam, perdet illam: qui autem perdiderit animam suam propter me, inveniet eam*. Idcirco & Apostolus ait: *Mortui enim estis, & vita vestra est abscondita cum Christo. Cum Christus apparuerit, vita vestra, tunc & vos apparebitis cum ipso in gloria*.

*Matth. 10. Joan. 12. Coloss. 3.*

C

## ΛΑ.

ΤΙ' οὖν θαυμάζεις μακαρίζων τὰ πρόσκαιρα καὶ δίκην ῥεύματος παρατρέχοντα; τί δὲ καὶ ὀνήσει ταφὴ λαμπρὰ, καὶ τάφος κεκονιαμένος, καὶ ἔπαινοι μάταιοι ἄνδρα ἐν ἀσεβείᾳ ζήσαντα, ὅταν αὐτὸς ἀνέσεως μὴ ἐπιτεύξεται;

## XXXI.

QUorsum igitur momentanea & fugacia ista, quæ fluminis instar diffluunt, suspicis ac beata prædicas? Quid etiam præclara funeris pompa proderit? quid sepulcra dealbata, & vanæ laudationes hominem impium, quando nullam ipse relaxationem consequatur, juvare poterunt?

D

## ΛΒ.

ΤΙ' ὠφελεῖ τὸν ἐν χρυσοφόροις κατακείμενον τὸ στίλβον ἐν τοῖς τείχεσι καὶ ἐν τῇ ὀροφῇ, ὅταν αὐτὸς ὑπὸ παθῶν κολάζηται, ἢ ὑπὸ Δράκοντος ἔνδον δακνύμενος, κατεσθίεται τὸ σῶμα; Τί γὰρ ὠφελήσει τὴν ἀποζευχθεῖσαν ψυχὴν ἡ τῶν πλειόνων περὶ τὸ σῶμα σπουδὴ, ἐὰν μὴ ὁ ἔπαινος ᾖ παρὰ Κυρίου ἐν ἐκκλησίᾳ μεγάλῃ; Μὴ οὖν θαύμαζε τὰ πρόσκαιρα καὶ δίκην κηροῦ διαχεόμενα. Ἀλλ' ἐκεῖνοι, φησὶ, πλουσίοις συνδιαιτῶνται. Ἀλλὰ σὺ προσομιλεῖς τῷ παμβασιλεῖ Θεῷ διὰ προσευχῆς, καὶ ἐσθίων τὸ σῶμα τοῦ μονογενοῦς αὐτοῦ Υἱοῦ, καὶ πίνων αὐτοῦ τὸ αἷμα· εὐφραίνου ἐν ἀγαλλιάσει, ὅτι ναὸς αὐτοῦ κατηξιώθης γενέσθαι.

## XXXII.

QUid proderit in laquearibus inauratis jacere? quid nitentes parietes? quid splendida tecta? cum ipse interim passionibus cruciatur, aut a Dracone convellitur intus, devoraturque corpus. Quid enim proderit animæ ex hac luce emigranti plurimorum circa corpus in ornando funere occupantium cura, nisi laus a Deo sit in ecclesia illa magna? Ne igitur tibi sint admirationi momentanea atque caduca ista, quæ instar ceræ liquescunt. Sed isti, inquies, cum divitibus consuetudinem habent. At tu cum omnium Rege Deo per orationem conversaris, & Corpus Unigeniti ejus Filii manducas, & Sanguinem ejus bibis. Gaude ergo, & lætare, quod merueris templum ejus fieri.

E

*1. Cor. 3. 2. Cor. 6.*

F

## ΛΓ.

ΜΗ' οὖν ὀλιγώρει, βλέπων ἑαυτὸν ἐν τῷδε τῷ βίῳ ἐν ἀδοξίᾳ, ἢ ἐν νόσῳ, ἢ ἐν γήρᾳ βαθεῖ καὶ πτωχείᾳ· ὁ γὰρ διατρέφων τὰ πετεινὰ τοῦ οὐρανοῦ, οὐκ ἐάσει σε ἀπρονόητον. ἀλλὰ στενοχωρεῖ, μήποτε ἀμβλυωπία σε ἐνοχλήσῃ;

## XXXIII.

NE igitur animum despondeas, videns te in hac vita inglorium atque abjectum, vel morbo, aut gravi senectute, ac paupertate gravatum. Qui enim pascit volucres cœli, non te sua destituet providentia. At te angit, ne tibi visus hebetudo molestiam afferat?

*Matth. 6.*